Ὡς νὺξ, ἠελίοιο δύσις· νεότητος, ἀφαυρὸν
Γῆρας· χεῖμα δ' ἔνεγκεν ἄνω δρόμος ἠελίοιο
Φρικτόν. - -

ἙΡΜΗΝΕΙΑ.

Τοιοῦτος μὲν ὁ ζόφος τῆς σῆς ψυχῆς, ὡς μιγνύειν ἐθέλειν τὰ ἄμικτα, καὶ εἰς ταὐτὸν ἄγειν σκότος καὶ φῶς, καὶ μὴ συνιέναι τοῦ λόγου τὸ ἄτοπον. Ἐμοὶ δὲ εἷς θεός ἐστιν ἄναρχος, ἄμαχος, εἰρηνικὸς, ἓν φῶς ἀγαθὸν, ὅπερ ἐστὶ δύναμις τῶν τε ἁπλῶν Ἀγγέλων, καὶ τῶν συνθέτων ἀνθρώπων, καὶ πάντων ἁπλῶς, τῶν ἐπιγείων καὶ τῶν ἐπουρανίων. Καὶ τὸ σκότος ὕστερον ἦλθεν. Οὐ φύσις γάρ τίς ἐστιν ἐνυπόστατος, ἡμετέρα δέ ἐστι τοῦτο κακία, κακία δέ ἐστι λύσις τῆς δοθείσης ἡμῖν ἐντολῆς· ὥσπερ νύξ ἐστι τοῦ ἡλίου ἡ δύσις, καὶ τῆς νεότητος, τὸ ἀσθενὲς γῆρας, καὶ τὸν χειμῶνα δὲ θερμὴν ὁ ἄνω τοῦ ἡλίου δρόμος ἐπήνεγκεν.

# KEIMENON.

Ὁ μὲν πρώτιστος ἐν οὐρανίοις φαέεσσιν,
Ἧις ὑπεροπλίῃσι φάος καὶ κῦδος ὀλέσσας,
Αἰὲν ἀπεχθαίρει μερόπων γένος. Ἐκ δ' ἄρ ἐκείνου
Γεύσατο καὶ κακίης πρῶτος βροτὸς ἀνδροφόνοιο
Καὶ θανάτου, ῥιπίσαντος ἐμὴν φλόγα οἷσι δόλοισι.

ἙΡΜΗΝΕΙΑ.

Ὁ μὲν πρώτιστος ἐν τοῖς οὐρανίοις Ἀγγέλοις, διὰ τὴν ἰδίαν αὐτοῦ ὑπερηφανίαν καὶ ἀλαζονείαν, τὸ δοθὲν αὐτῷ παρὰ θεοῦ φῶς καὶ τὴν δόξαν ὀλέσας, ἀεὶ μισεῖ τὸ ἀνθρώπινον γένος. Ἐξ ἐκείνου δὲ, τοῦ ἀνθρωποκτόνου δαίμονος λέγω, ἀνάψαντος τὴν ἐμὴν φλόγα, διὰ τῆς ἰδίας ἀπάτης ἐγεύσατο τῆς κακίας καὶ τοῦ θανάτου καὶ ὁ πρῶτος ἄνθρωπος.

# KEIMENON.

Ἥδε μὲν ὀψιγόνοιο κακοῦ φύσις, ἧσπερ ἐκεῖνός
Ἐστι πατήρ. Λώβη μὲν ἰὸς κρατεροῖο σιδήρου·

Λώβην